μὴ συμπληθύνεσθαι καὶ τὸ ἀπλήθυντον τῆς θεότητος. Εἰ δὲ ὁσάκις ἐπισκοπῆσαι χαριτωθείημεν, ἐπὶ τῆς αὐτῆς ὑπεραγάθου Τριάδος τὸν ἱερὸν τοῦτον καὶ ἀριθμοῦ κρείττονα καταλαμβάνομεν ἀριθμόν, οὔτε συστελλόμενον, οὔτε μὴν ὑπεραπλούμενον, πῶς οὐχὶ μᾶλλον τὸ πλῆθος τῶν ἐπιχειρημάτων ἀπαράγραπτον τε καὶ παναληθέστατον τὸ ἀπλήθυντον ἡμᾶς καὶ ἀναφαίρετον τῆς Τριαδικῆς θεολογίας οὐκ ἐκδιδάσκει;

§. ε. Ἔστι μὲν οὖν καὶ ἕτερα, δι' ὧν ἡ Τριὰς κατὰ τὴν ὁμοιότητα τοῦ τεθεωρημένου λόγου παραδείκνυται, ὥσπερ καὶ τὰ τοιαῦτα· νοῦς, νοητόν, νόησις· εἶτα λόγος, καὶ πνεῦμα, καὶ τὸ ἐξ οὗ ταῦτα πρόεισιν· ἀλλὰ γὰρ καὶ ὑπεράρχιος καὶ πρώτη καὶ ἔμφυτος ἀρχή, καὶ ὧν κατὰ τὸν λόγον τῆς συμφυΐας καθέστηκεν ἀρχή, ἐξ οὗ καὶ ἡ ἐν τοῖς οὖσιν ἅπασι κατὰ δεσποτείαν καὶ κυριότητα πρόεισιν ἀρχή· ἔπειτα γεννήτωρ, γέννημα, πνεῦμα· οὐ γὰρ ἄγονος ἡ πηγὴ καὶ αἰτία πάντων τῶν γεννωμένων, οὐδ' ἄπνους ἡ χορηγία πάντων τῆς πνοῆς, οὐδὲ τῶν αὐτῆς δημιουργημάτων ἐνδεέστερον· ἔτι δὲ ζωογονοῦν πρώτως καὶ πρῶτα, ὑπερφυῶς μέν, κατὰ δὲ τὴν ἔμφυτον αὐτῆς καὶ ὑπὲρ λόγον ἰδιότητα· δεῖ γὰρ προηγεῖσθαι τῶν δημιουργίας λόγῳ καὶ δεσποτείας προαχθέντων τε καὶ ζωογονουμένων τὴν προάναρχον τῶν ὑπερφυῶν τε καὶ ὁμοουσίων 1) φύσιν καὶ ζωήν, καὶ ἧς ἀπαύγασμα καὶ μιμήματα ἡ ἄλλη πᾶσα καθέστηκε φύσις καὶ ζωή· ἐπεὶ κἂν τοῖς περιγείοις ἡ φύσις τῆς τέχνης προΐδρυταί τε καὶ προκάθηται, ἣν ἀνάγκη πάλιν οὐκ αὐτοδέσποτον οὐδ' ἄναρχον οὖσαν, πρὸς ἑτέραν ἁπασῶν τῶν φύσεων δημιουργὸν καὶ ἐξῃρημένην αὐτῶν ἀφθέγκτοις ὑπεροχαῖς τῆς γενέσεως, ἀγαλματοποιεῖσθαί τε καὶ συνίστασθαι· πολλὰ δ' ἂν καὶ ἕτερα εἴη πρὸς τὴν αὐτὴν θεωρίαν διοικονομεῖσθαι δυνάμενα.

§. ς'. Οἶδα δέ τινας εἰπόντας καὶ ἑτέραν τινὰ συμβολικὴν θεωρίαν. Ἀῤῥεπές 2), φασί, τὸ θεῖον, καὶ ζυγῷ δικαιοσύνης τὴν πρόνοιαν πάντων ταλαντεῦον· ἐπεὶ οὖν καὶ ὃ τοῖς ἀνθρώποις ἐπινενόηται κριτήριον τῶν ἴσων τε καὶ ἀνίσων (ζυγὸν δ' αὐτὸ κυριολογοῦσιν), ἀλλὰ γὰρ τοῦτο τὰ 3) παρ' ἑκάτερα δύο πέρατα τῆς κατὰ τὸ μέσον κεραίας ἐξήρτηται, καὶ τριαδικῷ μὲν ἰδιώματι τὸ κατὰ τὰς ὑποστάσεις διάφορον ἐπιδείκνυται 4), μία δὲ τούτων ἐστὶ καὶ ἡ κρίσις καὶ ἡ ἐνέργεια, καὶ ταύτῃ τριαδικὴν ἐν ἑαυτῷ καὶ μοναδικὴν θεωρίαν εἰκονίζει, οὐκ ἔσχεν ὕβριν ὁ τῶν ὅλων κριτὴς καὶ ζυγοστάτης Θεός, διὰ τῶν ἡμῖν συντρόφων φωνῶν τὴν ἀκατάληπτον αὐτοῦ θεογνωσίαν παραγυμνοῦσθαι καὶ ἀναπτύσσεσθαι.

§. ζ'. Σὺ δ' 5) ἂν ἐπιθεωρήσαις, ὡς ἐπ' οὐδενός ἐστι λαβεῖν τῶν ἄλλων ἀριθμῶν πλὴν τῆς τριάδος ἀπαραλλάκτῳ καὶ ἑνιαίᾳ ἰσότητι τὰ ἄκρα τῷ μέσῳ συναπτόμενα· ὃ 6) τοίνυν ἐν ἀριθμοῖς τὸ ἶσον καὶ ἀπαράλλακτον καὶ ἀδιάστατον ἐν τῷ ἀσυγχύτῳ ὑπογράφει, καὶ ἱεράν τινα φαντασίαν τῆς ἡμῶν θεολογίας ἐνοπτρίζει, εἰκότως ἐφιλοσόφησεν ἡ μυσταγωγὸς τῆς ἐκκλησίας χρῆσις 7), δι' ἐκείνου μᾶλλον, ἢ δι' ἑτέρου τινὸς ἀριθμοῦ τὸ ἀναπλούμενον 8) τῆς τριαδικῆς μοναρχίας ἐκδιδάσκειν.

§. η'. Ἀλλὰ γὰρ δεῖ κἀκεῖνο λαβεῖν, χειραγωγίαν ἐσόμενον εἰς τὸ κατανοεῖν τὸ τῆς Τριάδος ἀπλήθυντόν τε καὶ ἀκαινοτόμητον. Ποῖον δὴ τοῦτο; Εἰ 9) ἕκαστον τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντων ἐξ ὕλης ἐστὶ καὶ εἴδους, ἢ ἐξ ἀναλογούσης γε πάντως ὕλῃ καὶ εἴδει στοιχειώδους δυάδος, ἀναγκαῖον τῆς δυαδικῆς συναριθμήσεως τῶν κτισμάτων, ἅτε δὴ χαμαιπετοῦς καὶ προσύλου, τὴν ἄϋλον καὶ ὑπερούσιον καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς φύσιν ὑπεραναβεβηκέναι· εἰ δὲ τοῦτο, εἰκότως ἄρα κατὰ 10) τὴν ἐν δυάδι ἀρίθμησιν οὐδαμῶς ἀνέχεται τὸ θεῖον συναπαρτίζεσθαι, τῇ δὲ τριαδικῇ θεολογίᾳ, κάτω λιπὸν τὴν ὕλην καὶ τὰ τῆς ὕλης, ἐνιδρυόμενον, τὴν μετ' αὐτὴν ἀρίθμησιν οὐ προσίεται, ἵνα μὴ πρὸς τὸ χυδαῖόν τε καὶ ἀνίδρυτον κατενεχθείη, τῆς πρώτης περιοχῆς ἀποῤῥυέν, καὶ πρὸς ἑκάστην ἐπίνοιαν ἀνθρωπίνην διασκεδαζόμενον.

§. θ'. Τριὰς δὲ καὶ οὐχὶ δυὰς ὁ Θεός, ἵνα μή, τὴν αἰτίαν καὶ ἀρχὴν τῆς τομῆς καὶ τοῦ σκεδασμοῦ ἐν ἑαυτῷ φέρων, τὴν ἑνιαίαν καὶ ἄτμητον καὶ πηγὴν πάσης ἑνότητος ἐνυβρίσῃ φύσιν. Οὐδὲ τέσσαρα δὲ πολλῷ μᾶλλον· διπλῆ γὰρ ταῦτα τομή, ἡ μὲν τὴν γένεσιν προκαταλαβοῦσα, ἡ δὲ τὴν ἐξ ἐκείνης 11) συντεθεῖσαν τέμνουσά τε καὶ διαλύουσα. Οὐδὲ τὰ πέντε δ' ἂν ἔχοι χώραν καθορᾶσθαι, οὐδὲ τὰ ἑξῆς· τὰ μέν, ὅτι δεύτερα τῆς τριάδος καὶ τῆς κατ' αὐτὴν ἀμεροῦς ἐννοίας ὑποβέβηκε, τὰ δέ, ὅτι τοῦ σκεδασμοῦ, καὶ τῆς τομῆς, καὶ τῆς ὕλης, ὅσον εἰς σύνθεσιν πρόεισι, πλέον μετέχει. Οὐκοῦν εἰκότως ἡ θεολογία τὴν μὲν τριάδα πρὸς ἐκφαντορίαν τῆς ἐν τῇ φύσει παραλαμβάνει κρυφιότητος, τὸ δὲ ἕν, διότι οὐδενὶ οὕτως ἄλλῳ τὸ ὑπὲρ νοῦν κρύφιον τῆς θεότητος, ὡς τῷ ἑνί, θεολογεῖται καὶ παραδείκνυται, καὶ διότι πηγὴ συμφυΐας ἁπάσης ὑμνολογεῖται τὸ Θεῖον [τῆς] 12) ἑνότητος.

§. ι'. Ἔτι δὲ ἡ δυὰς τά τε ἴχνη τοῦ μὴ ὄντος ἐν ἑαυτῇ πρώτη μάλιστα φέρει (λύσεώς τε γὰρ πρὸ τῶν ἄλλων

1) Ὑπερουσίων Ε. — 2) Ἀρεταῖς Ε. — 3) Ἴσ. γρ. τούτου· ἐν δὲ Ε. τοῦτο τε. — 4) Ὑπεδείκνυται Ε. — 5) Εἰ δ' ἂν Ε. — 6) Ἢ. Ε. — 7) Κρίσις Ε. — 8) Ε. ἐν δὲ ΑΡ. τὴν ἀναπλουμένην. — 9) Ἐπεὶ Ε. — 10) Μετὰ Ε. — 11) Ἐκείνου Ε. — 12) Ἡμετ. διόρθ. τὸ δὲ ΑΡ. καὶ Ε. ἑνότητος ἀνάρθρως.

αὕτη πηγή, καὶ τομῆς καὶ σκεδασμοῦ), καὶ πᾶσιν αἰτία φέρειν ἐν ἑαυτοῖς τῆς φθορᾶς τὰ προοίμια. Ἡ τριὰς δὲ τὸ ἄτμητον εἰκονίζει πρώτη καὶ ἀσκέδαστον, καὶ εἴ τι ἄλλο μετέχει τῆς ἀδιαιρέτου τε καὶ ἀσκεδάστου φύσεως, ἐξ αὐτῆς μετειληφὸς ἐπιγινώσκεται· διὸ τὸ Θεῖον εἰκότως τὴν τῆς ῥοῆς καὶ λύσεως καὶ φθορᾶς αἰτίαν ἀπεσείσατο, διὰ δὲ τῆς εἰκονιζούσης τριάδος τὸ ἄῤῥευστόν τε καὶ ἀσκέδαστον καὶ ἀδιάλυτον ἐπιγινώσκεσθαι κατηξίωσε· καὶ γὰρ τὸ μὲν τὴν αἰτίαν τῆς τομῆς καὶ ῥύσεως τῶν ἄλλων ὁμοταγῶν παθῶν ὑπεριδεῖν, οἰκεῖον θεότητος· τὸ δὲ τὴν τριάδα μὴ ὑπεριδόντα, πρώτως εἰκονίζουσαν τἀναντία πάντα τῶν εἰρημένων παθῶν, εἰς ἀπειρίαν 1) τὸν ἀνθρώπινον νοῦν πλανᾶσθαι μὴ παραχωρεῖν, φιλανθρωπίας τέ ἐστι τῆς πρεπούσης Θεῷ, καὶ τῆς περὶ ἡμᾶς προνοίας περιφανεστάτη παράστασις.

ΡΠΑ.

Πῶς λέγομεν ἓν καὶ τρία τὸ Θεῖον;

§. α'. Ἓν καὶ τρία τὸ Θεῖον θεολογοῦμεν· τὸ ἓν δὲ καὶ τὰ τρία ἐπὶ τῆς ὑπερφυοῦς ταύτης θεαρχίας ἡ καθ' ἡμᾶς ἱερολογεῖ θεολογία, οὐ τὸ ἓν ἐν ἀριθμοῖς ἢ τὰ τρία κυρίως, ὥσπερ ἐπὶ τῶν κατὰ φύσιν καὶ κυρίως ἀριθμητῶν, παραλαμβάνουσα (ἀριθμοῦ γὰρ παντὸς καὶ ἑνάδων, αἳ τὰ τοῦ ἀριθμοῦ μέρη καὶ πάσης ἄλλης ἀναπληροῦσι ποσότητος, παντελῶς ἡ ὑπεράρχιος ἀγαθαρχία ἀῤῥήτῳ μέτρῳ ὑπερίδρυται), ἀλλὰ διὰ μὲν τοῦ ἑνός 2) τὴν κρυφιότητα αὐτῆς καὶ τὸ ἄφθεγκτον καὶ ἀνεκφοίτητον, καὶ (πῶς ἄν τις εἴποι;) τὸ συννεῦον εἰς ἑαυτὴν καὶ σεσιγημένον τῆς φύσεως καὶ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ νοήσεως συμβολικῶς ἐνδίδωσιν ἀναπτύσσεσθαι· τὸ δὲ τρία τὴν ἐκφαντορικὴν αὐτῆς ἀγαθότητα καὶ πρόοδον καὶ ἐξάπλωσιν ἱερολογικῶς μυσταγωγεῖ καὶ ἀνακαλύπτει, οὐχ ὅλην τὴν αἴγλην ἐναυγάζουσα, ἀλλ' ὅσην ἡ ἀνθρωπίνη φύσις δυνατὴ παραδέχεσθαι, δι' ὧν ὅ τε δημιουργὸς καὶ ἡ αὐθυπόστατος δύναμίς τε καὶ πρόνοια τῇ ζωογόνῳ καὶ συνεκτικῇ τοῦ παντὸς συνεκλάμπει καὶ συναναφαίνεται ἐνεργείᾳ· ἡ γὰρ ἐν τῇ ἀφράστῳ τῆς κρυφιότητος μονὴ καὶ παντελὴς ἀκινησία, ὥσπερ δὴ τοῖς τῆς σιγῆς θαλάμοις ἐναποκρύπτεται, οὕτω δὴ καὶ διανοίας πάσης (ὅτι μηδ' ἔστι 3) νοῦς εἰς τὰ ὑπὲρ νοῦν ἀνιὼν) ἀνακεχώρηκεν.

§. β'. Ἐν μὲν οὖν τοῖς πρώτοις ἡ θεοπρεπὴς φαντασία τὴν μονήν, καὶ στάσιν, καὶ τὸ ἀκίνητον, καὶ τὴν ταυτότητα, καὶ ὅσον ἐστὶ δυνατὸν ἀνθρωπίνῃ φύσει δέξασθαι τὰς ὑπερανῳκισμένας 4) αὐγὰς τῆς ἐκεῖθεν ἐλλάμψεως, τῆς μονῆς καὶ στάσεως καὶ ἀκινησίας τὸ συνῃρημένον ἐποπτεύει· ἐνταῦθα δὲ τὴν ἑνοειδῆ καὶ θεουργὸν ἑτερότητα, καὶ τὴν ἀδιάστατον ἐν ἀκινήτοις ὑποστάσεσι κίνησιν, ἀῤῥήτως τε καὶ ῥοῆς χωρὶς ἁπάσης θεοπρεπῶς πηγάζοντα, ὡς ἐκ πηγῆς τῆς κρυφιότητος ἱεροπρεπῶς 5) ἐπιβλέπει. Ἓν οὖν τὸ Θεῖον καὶ τρία, οὐ κατὰ τὴν ἀριθμητικὴν τεχνολογίαν. Τοῦτο δὲ ἄρα καὶ πρὸ ἡμῶν ὁ τῶν ἀποῤῥήτων μύστης ὑπὸ τοῦ τὰ ἀνέκφραστα μυσταγωγοῦντος ὁ μέγας μυηθεὶς Διονύσιος αἰνιττόμενος ἔλεγεν, ὡς «ὁ παντὸς νοητοῦ καθ' ὑπεροχὴν αἴτιος οὔτε ἕν ἐστιν, οὔτε ἑνότης», ὑπερτιθεὶς αὐτὸν τῶν ἐν ἡμῖν ἁπάντων τιμίων, καὶ δὴ καὶ δῆλον, ὡς πρὸ τῶν ἄλλων καὶ τῆς συναριθμήσεως· καὶ πάλιν «ὁρῶμεν τὴν θεαρχίαν ἱερῶς ὑμνουμένην, ὡς μονάδα μὲν καὶ ἑνάδα, διὰ τὴν ἁπλότητα καὶ ἑνότητα τῆς ὑπερφυοῦς ἀμερίας, ἐξ ἧς, ὡς ἑνοποιοῦ δυνάμεως, ἑνιζόμεθα, καί, τῶν μεριστῶν ἡμῶν ἑτεροτήτων ὑπερκοσμίως συμπτυσσομένων, εἰς θεοειδῆ μονάδα συναπτόμεθα, καὶ θεομίμητον ἕνωσιν» 6).

§. γ'. «Τριάδα δέ, πρόσεχε 7), οὐ γὰρ 8) ὡς ἀριθμητήν, φησίν, ἀλλὰ διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφανσιν, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐστί τε καὶ ὀνομάζεται» 9). Καὶ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν 10) παρὰ τῷ θεσπεσίῳ τῶν ἀθεάτων θεωρῷ, καὶ τῆς Παύλου μυσταγωγίας ἐπαξίῳ. Ὅτι δὲ οὐ τῶν κυρίως ἀριθμητῶν ἡ Τριάς, ἔκ τε τῶν εἰρημένων ἐστὶ θεωρεῖν, καὶ ἄλλοι διάφοροι δηλοῦσι λόγοι. Καὶ γὰρ ἐπὶ τῶν κυρίως ἀριθμητῶν, οἷον ἀνθρώπων, φέρε εἰπεῖν, ἢ ἀγγέλων, ἢ μυρίων ἄλλων, δυνάμεθα λέγειν καὶ τριὰς ἀγγέλων, καὶ τριὰς ἀνθρώπων, ἀλλὰ καὶ τρεῖς ἄγγελοι, καὶ τρεῖς ἄνθρωποι· ἐπὶ δὲ τῆς ὑπὲρ πάντα νοῦν καὶ ἀριθμὸν ὑπεραγίας Τριάδος οὔτε τριὰς Θεῶν εἴποιεν ἄν τις εὐσεβῶν, ἀλλ' οὐδὲ τρεῖς Θεοί. Πάλιν τὰ ἐν τῇ ὑπεραγίᾳ καὶ ὁμοουσίῳ Τριάδι λαμβανόμενα πρόσωπα φανερόν, ὡς δι' ἀλλήλων τὰς ἰδιότητας ἀχράντους καὶ ἀκηράτους διασώζοντα χωρεῖ· πληροῖ τὰ πάντα ὁ Πατήρ, πληροῖ τὰ πάντα καὶ ὁ Υἱός, ὡσαύτως καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὸ ἀνάπαλιν ἔνθα πέρ ἐστι 11) τὸ Πνεῦμα, ἐκεῖ καὶ ὁ Υἱός, καὶ ὁ Πατήρ, ἀλλὰ καὶ ἐν οἷς πάρεστιν ὁ Υἱός, συμπάρεισι καὶ ὁ Πατήρ, καὶ τὸ Πνεῦμα· ἐπὶ δὲ τῶν κυρίως ἀριθμητῶν οὐδέν ἐστι τοιοῦτον οὐδὲ ἐννοεῖν.

1) Ἀπορίαν. Ε. — 2) Ἀλλὰ μὲν διὰ ΑΡ· καὶ Ε. — 3) Ἦν τις Ε. — 4) Ὑπεράνω κειμένας Ε. — 5) Ἓν Ε. λείπουσι τὰ «πηγάζοντα—ἱεροπρεπῶς». — 6) Διονύσ. Ἀρεοπαγ. περὶ Θείων ὀνομάτ. κεφ. α'. σελ. 244. — 7) Πρόσχες Ε. — 8) Οὐκ ἂν Ε. — 9) Διονύσ· Ἀρεοπ. αὐτόθ. — 10) Τὸ εὑρεῖν λείπει ἐκ τοῦ Ε. — 11) Πάρεστι. Ε.